Μαδιαν καὶ τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν καὶ πάντα
10 τὰ ἔγκτητα αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν ἐπρονόμευσαν· [10]καὶ πά-
σας τὰς πόλεις αὐτῶν τὰς ἐν ταῖς οἰκίαις αὐτῶν καὶ τὰς ἐπαύ-
11 λεις αὐτῶν ἐνέπρησαν ἐν πυρί. [11]καὶ ἔλαβον πᾶσαν τὴν προνο-
12 μὴν καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπὸ ἀνθρώπου ἕως κτήνους [12]καὶ
ἤγαγον πρὸς Μωυσῆν καὶ πρὸς Ελεαζαρ τὸν ἱερέα καὶ πρὸς πάν-
τας υἱοὺς Ισραηλ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα καὶ τὴν προνο-
μὴν εἰς τὴν παρεμβολὴν εἰς Αραβωθ Μωαβ, ἥ ἐστιν ἐπὶ τοῦ Ιορ-
δάνου κατὰ Ιεριχω.
13 [13]Καὶ ἐξῆλθεν Μωυσῆς καὶ Ελεαζαρ ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρ-
χοντες τῆς συναγωγῆς εἰς συνάντησιν αὐτοῖς ἔξω τῆς παρεμβολῆς.
14 [14]καὶ ὠργίσθη Μωυσῆς ἐπὶ τοῖς ἐπισκόποις τῆς δυνάμεως, χιλιάρ-
χοις καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ
15 πολέμου, [15]καὶ εἶπεν αὐτοῖς Μωυσῆς Ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ;
16 [16]αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ισραηλ κατὰ τὸ ῥῆμα Βαλααμ τοῦ
ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα κυρίου ἕνεκεν Φογωρ, καὶ ἐγέ-
17 νετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ κυρίου. [17]καὶ νῦν ἀποκτείνατε πᾶν
ἀρσενικὸν ἐν πάσῃ τῇ ἀπαρτίᾳ, καὶ πᾶσαν γυναῖκα, ἥτις ἔγνωκεν
18 κοίτην ἄρσενος, ἀποκτείνατε· [18]πᾶσαν τὴν ἀπαρτίαν τῶν γυναικῶν,
19 ἥτις οὐκ οἶδεν κοίτην ἄρσενος, ζωγρήσατε αὐτάς. [19]καὶ ὑμεῖς παρ-
εμβάλετε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· πᾶς ὁ ἀνελὼν καὶ
ὁ ἁπτόμενος τοῦ τετρωμένου ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ
20 τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν· [20]καὶ πᾶν
περίβλημα καὶ πᾶν σκεῦος δερμάτινον καὶ πᾶσαν ἐργασίαν ἐξ
21 αἰγείας καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖτε. [21]καὶ εἶπεν Ελεαζαρ
ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως τοὺς ἐρχομένους ἐκ τῆς
παρατάξεως τοῦ πολέμου Τοῦτο τὸ δικαίωμα τοῦ νόμου, ὃ συνέ-
22 ταξεν κύριος τῷ Μωυσῇ. [22]πλὴν τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου
23 καὶ χαλκοῦ καὶ σιδήρου καὶ μολίβου καὶ κασσιτέρου, [23]πᾶν πρᾶγ-
μα, ὃ διελεύσεται ἐν πυρί, καὶ καθαρισθήσεται, ἀλλ᾽ ἢ τῷ ὕδατι
τοῦ ἁγνισμοῦ ἁγνισθήσεται· καὶ πάντα, ὅσα ἐὰν μὴ διαπορεύηται
24 διὰ πυρός, διελεύσεται δι᾽ ὕδατος. [24]καὶ πλυνεῖσθε τὰ ἱμάτια τῇ
ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ καθαρισθήσεσθε καὶ μετὰ ταῦτα εἰσελεύσεσθε
εἰς τὴν παρεμβολήν.
25 26 [25]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [26]Λαβὲ τὸ κεφά-
λαιον τῶν σκύλων τῆς αἰχμαλωσίας ἀπὸ ἀνθρώπου ἕως κτήνους,
σὺ καὶ Ελεαζαρ ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συνα-

9 εγκτητα] -τηματα A || 10 οικιαις] κατοικ. A | εν ult. > B^c || 11 προνομην] + αυτων A || 12 υιους] pr. τους A || 17 εγνωκεν] εγνω A | αποκτεινατε ult.] -κτενειτε A† || 18 init.] pr. και A | οιδεν] εγνω A || 19 παρεμβαλειτε A || 22 χρυσιου ... αργυριου] tr. A† || 23 ο > B*† | εαν μη διαπορευηται] μη διαπορευεται A | διελευσεται ult.] pr. ου A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/324 UNIVERSITÄT LEIPZIG